## CXL. 7223—1715, mense iulio, ind. VIII.

*Patriarcha Cosmas II. et synodus decernunt unum abbatem monasterii esse exarchum patriarchalem in insula Patmo.*

† Κοσμᾶς, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Τάξις συνέχει τὰ οὐράνια καὶ ἐπίγεια καὶ δι᾽ αὐτῆς κυβερνᾶται τὸ πᾶν σὺν λόγῳ καὶ διεξάγεται, ἐκ διαμέτρου δ᾽ αὖ ἀταξία φθορᾶς οὖσα παραίτιος φευκτέα μὲν ἁπλῶς ἐπὶ πάντων, πολλῷ δὲ μᾶλλον ἐπὶ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων, ὧν εἴ τις ἀφέλοι τὸ εὔτακτον, αὐτὸ πάντως παραιρεῖται τὸ εἶναι εἰς αὐτὰ τὰ καίρια λυμαινόμενος. ἐπειδὴ τοιγαροῦν ἀνηνέχθη ἡμῖν ἤδη διὰ γράμματος πεμφθέντος παρά τε τοῦ ὁσιωτάτου καθηγουμένου τῆς ἡμετέρας πατριαρχικῆς καὶ σταυροπηγιακῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου τῆς ἐν τῇ νήσῳ Πάτμῳ καὶ τῶν λοιπῶν ἐνασκουμένων αὐτῇ πατέρων, ὅτι συνήθεια ἐπεκράτησεν αὐτόθι παλαιὰ τὴν ἐπιτροπὴν τῆς πατριαρχικῆς ἐξαρχίας τῆς ῥηθείσης νήσου Πάτμου λαμβάνειν παρὰ τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας τὸν κατὰ καιροὺς ἡγούμενον τοῦ διαληφθέντος μοναστηρίου, ὡς προϊστάμενον τῶν ἄλλων καὶ ἔχοντα τὴν προστασίαν καὶ ἐπίσκεψιν οὐ μόνον τοῦ μοναστηρίου, ἀλλὰ καὶ πάντων τῶν ἐν τῇ νήσῳ ταύτῃ οἰκούντων χριστιανῶν καὶ διδόντα μόνον τὸ διατεταγμένον ἐτήσιον τῇ μεγάλῃ ἐκκλησίᾳ κατ᾽ ἔτος, αὐτὸν εἶναι καὶ λογίζεσθαι ἐπίτροπον τῆς ἡμετέρας ταύτης πατριαρχικῆς ἐξαρχίας καὶ μήτε ἄλλον τινὰ πέμπεσθαι ἔξαρχον αὐτόθι, οὔτε δίδοσθαι ἑτέρῳ τινὶ τὸ τῆς ἐξαρχίας γράμμα, ἀλλ᾽ ἢ τῷ κατὰ καιροὺς ἡγουμένῳ, οὐ μὴν ἀλλὰ καὶ ἱκανοὶ χριστιανοὶ τῶν ἐκ τῆς νήσου ταύτης χρησίμων πραγματευτῶν καὶ καραβοκυρίων παραστάντες ἔμπροσθεν τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης ἀνήγγειλαν οὕτως ἔχειν τὰ περὶ τῆς ὑποθέσεως ταύτης προσθέντες, ὅτι καὶ ἄλλοτέ ποτε ἐκινήθη παρ᾽ αὐτῶν ἡ ἀγωγὴ αὕτη ἐπὶ τῶν πρὸ ἡμῶν πατριαρχευσάντων καὶ ἀπεφάνθη καὶ τότε τὸν ἡγούμενον μόνον ἔχειν λαμβάνειν τὴν ἐπιτροπὴν τῆς ἐξαρχίας ταύτης καὶ μηδένα ἄλλον. ταῦτ᾽ οὖν εἰπόντες ἐδεήθησαν μετὰ θερμῆς παρακλήσεως ἐπιβεβαιωθῆναι παρ᾽ ἡμῶν δι᾽ ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ γράμματος τὴν ἐπιτροπὴν τῆς ἐξαρχίας ταύτης τοῦ κατὰ καιροὺς ἡγουμενεύειν λαχόντος ἐπὶ τῷ συντηρεῖσθαι καὶ διαμένειν διηνεκῶς ἀμετάθετον τὴν εὐταξίαν αὐτῶν ταύτην κατὰ τὴν ἐπικρατήσασαν ἀρχαίαν τοῦ τόπου συνήθειαν καὶ μόνον γνωρίζεσθαι ἐν αὐτοῖς πρῶτον καὶ προϊστάμενον πάντων τῶν ἄλλων τὸν τοῦ διαληφθέντος μοναστηρίου

ἡγούμενον, ὡς τῆς νήσου αὐτῶν ταύτης ἐλευθερίᾳ τετιμημένης καὶ σταυροπηγιακῇ φιλοτιμίᾳ καὶ μηδενί τινι ἑτέρῳ ὑποκειμένης ἢ μὴ μόνον τῷ ἡγουμενεύοντι ἐν τῷ ἐν αὐτῇ σεβασμίῳ μοναστηρίῳ τοῦ Θεολόγου, μηδένα τε ἕτερον ἱερωμένον ἢ λαϊκὸν ἔχειν ἄδειαν λαμβάνειν τὴν ἐξαρχίαν ταύτην παρὰ τῆς μεγάλης ἐκκλησίας καὶ ζητεῖν συγχέειν καὶ ἀνατρέπειν τὴν παλαιὰν αὐτῶν συνήθειαν καὶ τὸ προνόμιον τοῦ κατὰ καιροὺς ἡγουμενεύοντος· τοῦτο γὰρ ὅλως ἀφόρητον εἶναι αὐτοῖς καὶ ἀβούλητον, στάσεώς τε καὶ διχονοίας παραίτιον καὶ ἀτιμίαν ἐπάγον τῷ σεβασμίῳ τούτῳ μοναστηρίῳ, οὗ τὸν ἡγούμενον καὶ τῆς νήσου προεστάναι ἁπάσης διωμολόγησαν καὶ τὴν ἐξαρχίαν μόνον λαμβάνειν αὐτῆς ἀνέκαθεν, καὶ τοῦτο εἶναι συμφέρον ἅμα καὶ εὔτακτον τοῦ ἐν αὐτοῖς πρώτου γινωσκομένου καὶ τὴν πρόνοιαν αὐτῶν ἔχοντος καὶ μηδενὸς ἔξωθεν ἐπιπηδῶντος καὶ σύγχυσιν οἱανοῦν αὐτοῖς ἐπάγοντος. τούτου χάριν τὴν δέησιν καὶ ἀξίωσιν αὐτῶν ὡς εὔλογον καὶ δικαίαν οὖσαν εὐμενῶς λίαν ἀποδεξάμενοι, ἄλλως τε καὶ τὴν σύστασιν καὶ μετ᾽ εὐταξίας διεξαγωγὴν τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν διὰ φροντίδος ἔχοντες, γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ἐπιτροπὴ τῆς ῥηθείσης πατριαρχικῆς ἡμῶν ἐξαρχίας ταύτης τῆς νήσου Πάτμου ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἔχῃ δίδοσθαι τῷ κατὰ καιροὺς ἡγουμενεύειν λαχόντι ἐν τῇ σεβασμίᾳ ταύτῃ σταυροπηγιακῇ μονῇ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, κἀκεῖνος μόνος ὑπάρχῃ καὶ λογίζηται ἐπίτροπος αὐτῆς, ὀφείλων πληροῦν τῇ καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ τὸ διατεταγμένον μόνον ἐτήσιον καὶ λαμβάνειν παρ᾽ αὐτοῦ τὸ τῆς ἐξαρχίας γράμμα, μηδένα δὲ ἕτερον ἢ τῶν τοῦ ἱερατικοῦ καταλόγου ἢ τῆς κοσμικῆς τάξεως τολμᾶν ἐπιπηδᾶν αὐτῇ καὶ γίνεσθαι ἔξαρχον ἐν τῇ νήσῳ ταύτῃ καὶ ἐνοχλεῖν καὶ ἐπηρεάζειν τὸ σύνολον τῷ κατὰ καιροὺς ἡγουμενεύοντι, συγχέειν τε καὶ ἀνατρέπειν τὴν ἐπικρατήσασαν αὐτῶν ἀρχαίαν τάξιν τε καὶ συνήθειαν, τὸ δὲ προεκδοθὲν ἐξαρχικὸν γράμμα τῷ παπᾷ Νικήτᾳ τῆς ἐξαρχίας ταύτης τῆς ἐλευσομένης ἐννάτης ἰνδικτιῶνος ὑπάρχῃ ἄκυρον καὶ ἀνίσχυρον καὶ μηδ᾽ ὅλως ἐνεργούμενον μενούσης τῆς ἐπιτροπῆς ὡς καὶ πρότερον, εἴς τε τὸν νῦν ἡγουμενεύοντα ἐν τῷ μοναστηρίῳ τούτῳ καὶ εἰς τοὺς μετὰ ταῦτα κατὰ καιροὺς ἡγουμενεύσοντας μέχρι παντὸς ἀμεταθέτου καὶ ἀμετακινήτου τὸ σύνολον. Ὃς δ᾽ ἂν τις τῶν πάντων τολμήσῃ ἀπ᾽ ἐναντίας φέρεσθαι τοῖς ἐν τῷ παρόντι γεγραμμένοις καὶ ζητήσῃ οἱῳδήτινι τρόπῳ συγχύσαι καὶ ἀνατρέψαι τὴν ἐπικρατήσασαν αὐτῶν ἀρχαίαν συνήθειαν, ἐνόχλησίν τε καὶ σκάνδαλον προξενῆσαι τῷ τε ἡγουμένῳ καὶ τοῖς συνασκουμένοις πατράσι καὶ πᾶσι τοῖς ἐν τῇ νήσῳ ταύτῃ χριστιανοῖς, ὁποίας

ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. ὅθεν εἰς ἔνδειξιν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον γράμμα τῆς ἐπιτροπῆς τῆς ἐξαρχίας τῆς νήσου Πάτμου καὶ ἐδόθη τῷ ἱερῷ μοναστηρίῳ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου. ,αψιε΄, ἐν μηνὶ ἰουλίῳ, ἰνδικτιῶνος η΄. †

† Ὁ Ἡρακλείας Γεννάδιος. †

† Ὁ Μυτιλήνης Νικόδημος. †

† Ὁ Κυζίκου Αὐξέντιος. †

† Ὁ Σερρῶν Κύριλλος. †

† Ὁ Νικομηδείας Παΐσιος. †

† Ὁ Βάρνης Καλλίνικος. †

*Archetyp. Flor. uro 60.*

## CXLI. 7224—1715, mense decembri, ind. IX.

*Patriarcha Cosmas II. et synodus monasterio, cui praeposuerant curatores, restituunt integram libertatem.*

† Κοσμᾶς, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁσιώτατε καθηγούμενε τῆς ἡμετέρας πατριαρχικῆς καὶ σταυροπηγιακῆς μονῆς τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου καὶ ἐπίτροπε τῆς ἡμετέρας πατριαρχικῆς ἐξαρχίας τῆς νήσου Πάτμου, καὶ λοιποὶ συνασκούμενοι πατέρες καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τῆς αὐτῆς νήσου, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. οἱ καθόλου τῶν ἐκκλησιαστικῶν προϊστάμενοι πραγμάτων τοῖς τῶν κατὰ μέρος τοῦ θεοῦ ἐκκλησιῶν καὶ εὐκτηρίων οἴκων ἐπαγρυπνεῖν ὀφείλοντες διοικήσεσι καὶ τῆς ἐκείνων προνοεῖν σωτηρίας, διαμονῆς τε καὶ ἐπιδόσεως διαφόροις κατὰ καιροὺς τρόποις τὰ συμφέροντα τούτοις συνεργάζονται καὶ τὰ προδεδογμένα μετακινεῖν ἐνίοτε οὐ παραιτοῦνται πρὸς ἓν καὶ μόνον ἀφορῶντες, τὴν εἰς τὸ κρεῖττον ἐκείνων ἀποκατάστασιν. ἐπειδὴ τοιγαροῦν προλαβόντως ἀπεκατεστήσαμεν ἐπιτρόπους καὶ ἐπιτηρητὰς τῆς ἱερᾶς καὶ σεβασμίας μονῆς ταύτης δι' ἡμετέρου πατριαρχικοῦ γράμματος τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Κῴου καὶ συνάδελφον ἡμῶν, κὺρ Κύριλλον, καὶ τὸν προηγούμενον, παπᾶ Ἰάκωβον, ὠφέλειάν τινα οἰόμενοι ἐπακολουθήσειν ἐκ τούτου τῇ ἱερᾷ μονῇ ταύτῃ διὰ τῆς ἐπιστασίας ἐκείνων καὶ ἐπισκέψεως, ἤδη δὲ ἀνηνέχθη ἡμῖν δι' ὑμετέρας κοινῆς ἀναφορᾶς τὴν ἐπιτροπικὴν ταύτην ὠφέλειαν μὲν οὐδεμίαν καὶ ἐπίδοσιν δύνασθαι ἐμποιεῖν τῷ ῥηθέντι μοναστηρίῳ,

τοὐναντίον δὲ μᾶλλον βλάβην ἐπάγειν καὶ σύγχυσιν τοῖς ἐνασκουμένοις αὐτῷ πατράσι, ταραχήν τε προξενεῖν καὶ ἀταξίαν, ὡς τῶν ἐπιμιγνυμένων ταῖς μοναστηριακαῖς αὐτῶν ὑποθέσεσι διὰ τὴν ἐπιτροπικὴν ἐξουσίαν πολυειδῶς αὐτοὺς συγχεόντων καὶ ταραττόντων, κἀντεῦθεν συνέβαινε πολλὰς καὶ διαφόρους [βλάβας] τὴν ἱερὰν μονὴν ταύτην ὑπομένειν καὶ τοὺς ἐνασκουμένους αὐτῇ ἐνοχλεῖσθαι μεγάλως. διά τοι τοῦτο καθάπαξ ἀποποιούμενοι τὸ ἔχειν ἐπιτρόπους τοῦ μοναστηρίου αὐτῶν, ὡς στάσεως καὶ διχονοίας παραίτιον, ἐδεήθησαν ἡμῶν ἤδη κοινῶς ἐπιβραβευθῆναι αὐτοῖς τὸ ἐλεύθερον καὶ ἀνενόχλητον τοῦ τῆς ἐπιτροπικῆς βάρους, ὡς δυναμένων αὐτῶν τῶν πατέρων μετὰ τοῦ ἡγουμένου θεωρεῖν καὶ διευθετεῖν πάσας τὰς μοναστηριακὰς αὐτῶν χρείας καὶ ὑποθέσεις, ἀνεπιδεῶς τε ἐχόντων τῆς τῶν ἐπιτρόπων ἐπιστασίας καὶ καθ' ἑαυτοὺς κυβερνᾶσθαι δυναμένων ἀνενοχλήτως, καθὼς καὶ αἱ ἁπανταχοῦ σωζόμεναι ἐπίσημοι καὶ σταυροπηγιακαὶ μοναὶ διακυβερνῶνται χωρὶς ἐπιτρόπων τῆς τῶν πατέρων συνάξεως μετὰ τοῦ ἡγουμένου ἀποχρώσης αὐταῖς πρὸς πᾶσαν διεξαγωγὴν καὶ κυβέρνησιν αὐτῶν. ὧν τὴν δέησιν ὡς εὔλογον καὶ δικαίαν ἀποδεξάμενοι γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ μὲν προεκδοθὲν παρ' ἡμῶν τῆς ἐπιτροπικῆς γράμμα καὶ ἀποκαθιστὰν ἐπιτρόπους τῆς διαληφθείσης ἱερᾶς μονῆς τοῦ Θεολόγου τόν τε θεοφιλέστατον ἀρχιεπίσκοπον Κώου, κὺρ Κύριλλον, καὶ τὸν προηγούμενον, παπᾶ Ἰάκωβον, ὡς παραίτιον στάσεως, θορύβου τε καὶ σκανδάλων καὶ συγχύσεως πρὸς τούτοις ἄκυρον μένῃ καὶ ἀνενέργητον, ἐχέτωσαν δὲ ἄδειαν ὁ ἡγούμενος μετὰ τῶν λοιπῶν πατέρων τοῦ ἱεροῦ τούτου μοναστηρίου θεωρεῖν καὶ κυβερνᾶν πάσας τὰς μοναστηριακὰς αὐτῶν χρείας καὶ ὑποθέσεις μηδενὸς ἄλλου ἐξωτερικοῦ ἱερωμένου ἢ λαϊκοῦ τολμῶντος ἐπιμίγνυσθαι αὐτοῖς καὶ παρεμβάλλειν ἑαυτὸν προπετῶς ταῖς μοναστηριακαῖς αὐτῶν ὑποθέσεσιν, οὐ μὴν ἀλλ' οὐδὲ τῶν προσφοιτώντων αὐτόθι ἀρχιερέων μηδεὶς ἐχέτω ἄδειαν σύναξιν ποιεῖν ἐντὸς τοῦ μοναστηρίου ἐν τοῖς κελλείοις αὐτοῦ καὶ θεωρεῖν ὅλως ὑπόθεσίν τινα ἀνήκουσαν τῷ ἡγουμένῳ καὶ τῇ κοινότητι, οὔτε χειροτονίας ποιεῖν παρὰ γνώμην αὐτῶν ἢ ἀργεῖν καὶ ἀφορίζειν τινὰ αὐτοδεσπότως χωρὶς εἰδήσεως τοῦ ἡγουμένου καὶ τῆς κοινότητος· περιφρόνησις γὰρ τὸ τοιοῦτον, ἀναίρεσίς τε καὶ ἀνατροπὴ τῆς σταυροπηγιακῆς ἀξίας καὶ ἐλευθερίας τοῦ ἱεροῦ τούτου μοναστηρίου τῆς ἐπιβραβευθείσης αὐτῷ ἄνωθεν, ὡς βασιλικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ, ἀλλ' οὐδὲ τῶν ἐν αὐτῷ ἱερομονάχων ἐχέτω τις ἄδειαν ζητεῖν καὶ λαμβάνειν ὀφφίκιον τοῦ μοναστηρίου διὰ μέσου τῶν λαϊκῶν ἢ ἑτέρου τινὸς ἢ ἄλλῳ τινὶ τρόπῳ ἀντιποιεῖσθαι αὐτοῦ βιαίως, ἀλλὰ μετὰ γνώμης

καὶ εἰδήσεως τῆς συνάξεως τῶν πατέρων τὰ τοιαῦτα ὀφφίκια διδόσθωσαν τοῖς κοινῶς ἀναφανεῖσιν ἀξίοις. ὁ δὲ ἄλλως πως λαβεῖν τολμήσας ὀφφίκιον μοναστηριακὸν καθαιρέσει καὶ ἀφορισμῷ μετὰ ταῦτα παρ' ἡμῶν καθυποβληθήσεται· ταῦτα γὰρ πάντα προφανῶς εἰσιν ἄτοπα, ἀπηγορευμένα καὶ ἀλλότρια τῆς μοναστηριακῆς εὐταξίας καὶ τῆς σταυροπηγιακῆς τιμῆς καὶ ἀξίας τοῦ μοναστηρίου τούτου, κατεγνωσμένα τε καὶ ἐπίμωμα. ὃς δ' ἂν τολμήσῃ τι τῶν τοιούτων ἀντιλέγων καὶ ἐναντιούμενος τοῖς συνοδικῶς ἡμῖν ἀποφανθεῖσι καὶ διορισθεῖσιν ἐν τῷ παρόντι καὶ θελήσῃ καταθρασύνεσθαι τοῦ ἡγουμένου καὶ τῆς κοινότητος τῶν πατέρων συγχέων τὴν μοναστηριακὴν εὐταξίαν αὐτῶν καὶ τὴν σταυροπηγιακὴν ἐλευθερίαν, ὁ τοιοῦτος τοῦ ἱερατικοῦ μὲν ὢν καταλόγου ἀργὸς εἴη πάσης ἱεροπραξίας καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, λαϊκὸς δὲ ἀφωρισμένος ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ τῆς ἀτελευτήτου καὶ διαιωνιζούσης κολάσεως. ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν ἡμῶν γράμμα καὶ ἐπεδόθη τῷ διαληφθέντι μοναστηρίῳ τοῦ Θεολόγου. ‚αψιε', ἐν μηνὶ δεκεμβρίῳ, ἰνδικτιῶνος θ'. †

| | |
|---|---|
| † Ὁ Καισαρείας Γεράσιμος. † | † Ὁ Χαλκηδόνος Κύριλλος. † |
| † Ὁ Νικομηδείας Παΐσιος. † | † Ὁ Κυζίκου Αὐξέντιος. † |
| † Ὁ Ἡρακλείας Γεννάδιος. † | † Ὁ Μυτιλήνης Νικόδημος. † |

*Archetyp. Flor. II. nro 61.*

## CXLII. 7227—1719, mense ianuario, ind. XII.

***Patriarcha Ieremias III. Patmius et synodus dirimunt controversiam inter monasterium et habitatores insulae Leri de ecclesia S. Virginis*** τῆς Ὑπαπαντῆς.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Μὴ ἐκκλίνειν εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ ἡ διὰ Μωσέως διορίζεται διαθήκη, τουτέστι τὴν ἴσην ὁδεύειν τῆς δικαιοσύνης ὁδὸν καὶ τὴν ἑκατέρωθεν ἀμετρίαν φυλάττεσθαι ἢ κρίνειν τοὺς κρινομένους, μήτε τοῖς ἐκ δεξιῶν, μήτε τοῖς ἐξ ἀριστερῶν ἀποβλέποντας, ἀλλὰ τὸ δίκαιον ἐπὶ πᾶσι καὶ πρὸς πάντας νομοθετοῦντας καὶ διορίζοντας· ἀρετὴ καὶ γὰρ κριτοῦ ἐξετάζειν ἐρευνητικῶς τοὺς τῶν ἀντιφερομένων λόγους καὶ τὰς προσαγομένας τῶν ὑποθέσεων καὶ

ταύταις τὸ δίκαιον ἐπιδιορίζεσθαι φυλάττοντα μὲν καὶ τοὺς τῶν κανόνων διορισμούς, τηροῦντα δὲ καὶ τὸ ἄζήμιον ἑκατέροις τοῖς μέρεσιν. ἐπειδὴ τοιγαροῦν διαφορά τις καὶ φιλονεικία συνέπεσε μεταξὺ τῶν πατέρων τοῦ ἱεροῦ καὶ σεβασμίου ἡμετέρου πατριαρχικοῦ σταυροπηγιακοῦ μοναστηρίου τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τοῦ κατὰ τὴν νῆσον Πάτμον καὶ τῶν χριστιανῶν τῆς νήσου Λέρου περὶ τῆς κατὰ τὴν Λέρον ἐκκλησίας τῆς ἐπ' ὀνόματι σεμνυνομένης τῆς ὑπεραγίας Θεοτόκου, ἰδιοποιουμένων αὐτὴν ἑκατέρων τῶν μερῶν καὶ τῶν μὲν τοῦ μοναστηρίου κτῆμα εἶναι ἐξ ἀρχῆς διισχυριζομένων, τῶν δὲ ἐνοριακὴν εἶναι λεγόντων, παρεγίνοντο ἐνταῦθα ἐν Κωνσταντινουπόλει ἀπὸ μὲν τοῦ ῥηθέντος μοναστηρίου τοῦ Θεολόγου ἐπιτροπικῶς ὁ ὁσιώτατος ἐν ἱεροδιακόνοις, κὺρ Ἰωάσαφ, ἀπὸ δὲ τῆς Λέρου χριστιανοί τινες Λεριῶται, καὶ παραστάντες ἐνώπιον τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ αὐτοῦ τοῦ κατὰ τόπον ἀρχιερέως, μητροπολίτου Ῥόδου, κὺρ Ἰγνατίου, προυβάλλοντο ἑκατέρωθεν τὰ δικαιολογήματα αὐτῶν, καὶ ὁ μὲν ἱεροδιάκονος Ἰωάσαφ ἀπ' ἀρχῆς τῆς κτίσεως αὐτῆς εἶναι ὑπὸ τὴν ἐξουσίαν τοῦ μοναστηρίου διισχυρίζετο λέγων, ὅτι ὁ κτίτωρ αὐτῆς, ἱερομόναχός τις Βενιαμὶν ἀπὸ τοῦ αὐτοῦ μοναστηρίου ὑπάρχων τοῦ Θεολόγου, ἀπῆλθεν εἰς Λέρον καὶ ᾠκοδόμησεν αὐτὴν τὴν ῥηθεῖσαν ἐκκλησίαν τῆς Θεοτόκου ἀναλώμασι καὶ ἐξόδοις τοῦ μοναστηρίου αὐτοῦ, κἀντεῦθεν καὶ τὰ ἐν τῇ αὐτῇ σκεύη καὶ αἱ ἱεραὶ εἰκόναι ἀπεκομίσθησαν ἀπὸ τοῦ μοναστηρίου τούτου, ὡς πρὸς μετόχιον αὐτοῦ· οἱ δὲ Λεριῶται χριστιανοὶ ἐναντιούμενοι ἀντέτεινον τὸν ῥηθέντα ἱερομόναχον, εἰ καὶ μοναστηριακὸς ὑπῆρχεν, ὡς εἴρηται, ἀλλ' οὖν ἐξόδοις τῆς χώρας κατασκευάσαι τὴν ἐκκλησίαν εὑρεθέντα τότε ἐν τῇ νήσῳ ταύτῃ καὶ προϊστάμενον ἐν αὐτῇ διὰ τὰς τοῦ καιροῦ περιπετείας· διαφερομένων οὖν οὕτως ἑκατέρων τῶν μερῶν τέλος μαρτυρησάντων τῶν θεοφιλεστάτων ἀρχιεπισκόπων, τοῦ τε Καρπάθου, κὺρ Νεοφύτου, καὶ τοῦ Κῶ, κὺρ Κυρίλλου, τοῦ μὲν ἐγκαινιάσαι ταύτην ἐξόδοις τοῦ μοναστηρίου, τοῦ δὲ ὑποκεῖσθαι ταύτην ἐξ ἀρχῆς τῷ μοναστηρίῳ, συνεπεράνθη τὸ πρέπον καὶ νόμιμον ἐπὶ τῷ διαλυθῆναι πᾶσαν ἔριν καὶ φιλονεικίαν συναινοῦντος καὶ τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ δὴ ἀπεφάνθη συνοδικῶς, ὅπως ἡ μὲν ἐκκλησία αὕτη τῆς ὑπεραγίας Θεοτόκου ὑπάρχῃ ὑπὸ τὴν ἐξουσίαν τοῦ μοναστηρίου καὶ τὴν διοίκησιν τοῦ ἐκεῖθεν πεμπομένου οἰκονόμου καὶ δεσπόζηται ὑπὸ τῶν πατέρων τοῦ ῥηθέντος μοναστηρίου μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς καὶ τῶν προσόδων καὶ εἰσοδημάτων αὐτῆς καὶ ἔχῃ τὴν ἐπιστασίαν καὶ διοίκησιν αὐτῆς ὁ ἀπὸ τοῦ μοναστηρίου τοῦ Θεολόγου πεμπόμενος οἰκονόμος ἐκτελῶν καὶ τὰ ἱερατικὰ ἐν αὐτῇ, ἔχει δὲ ἐν αὐτῇ τὸ κανονικὸν μνημόσυνον

ὁ κατὰ καιροὺς μητροπολίτης Ῥόδου λαμβάνων παρὰ τοῦ οἰκονόμου καὶ τὸ σύνηθες φιλότιμον καὶ μηδὲν πλέον, συμψάλλωσι δὲ τῷ οἰκονόμῳ καὶ συνεφημερεύωσι καὶ οἱ ἐντόπιοι ἱερεῖς, καθὼς καὶ ἐν ταῖς λοιπαῖς ἐκκλησίαις· οὕτω γὰρ ἑκατέροις τοῖς μέρεσιν ἐπιτηρηθήσεται τὸ ἀζήμιον, ὅ τε κατὰ τόπον ἀρχιερεὺς τοῦ μνημοσύνου καὶ τοῦ φιλοτίμου οὐκ ἀποστερηθήσεται καὶ τὸ μοναστήριον τῆς κτητορικῆς ἐξουσίας οὐκ ἀποξενωθήσεται, ἥντινα εὐλογοφανῆ ἀπόφασιν καὶ τὸν δίκαιον διορισμὸν ἐπικυρῶσαι ἔγνωμεν καὶ δι᾽ ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος. τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ ῥηθεῖσα ἐκκλησία τῆς ὑπεραγίας Θεοτόκου ἡ κατὰ τὴν νῆσον Λέρον ὑπάρχῃ τὸ ἀπὸ τοῦδε καὶ εἰς αἰῶνα τὸν ἅπαντα ὑπὸ τὴν ἐξουσίαν καὶ διοίκησιν τοῦ ῥηθέντος ἱεροῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ Θεολόγου καὶ εἴη καὶ λέγηται ἴδιον κτῆμα καὶ μετόχειον τοῦ μοναστηρίου, δεσποζομένη καὶ ἐξουσιαζομένη ὑπ᾽ αὐτοῦ καὶ τῶν ἐν αὐτῷ πατέρων μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, ὅσα τε ἤδη ἔχῃ καὶ ὅσα προσκτήσηται ὕστερον καὶ ἔχῃ τὴν ἐπιστασίαν αὐτῆς καὶ διοίκησιν ὁ ἀπὸ τοῦ μοναστηρίου πεμπόμενος οἰκονόμος ἐφημερεύων ἐν αὐτῇ καὶ τὰ ἱερατικὰ ἐκτελῶν, μνημονεύων τε τοῦ κανονικοῦ ὀνόματος τοῦ κατὰ καιροὺς μητροπολίτου Ῥόδου πληρῶν τε καὶ ἀπολογούμενος πρὸς αὐτὸν τὸ κατ᾽ ἔτος σύνηθες φιλότιμον, συμψάλλωσι δὲ τῷ οἰκονόμῳ καὶ συνεφημερεύωσι καὶ οἱ τῆς νήσου ταύτης ἱερεῖς κατὰ τὴν ἀνέκαθεν ἐπικρατήσασαν συνήθειαν, μηδενὸς τολμῶντος ἀνατρέψαι τὴν τοιαύτην εὐλογοφανῆ ἀπόφασιν καὶ ἐναντιωθῆναι καθ᾽ οἱονδήτινα τρόπον τοῖς ἐν τῷ παρόντι γεγραμμένοις ἢ ἐνοχλῆσαι τοῖς πατράσι τοῦ μοναστηρίου τοῦ Θεολόγου περὶ τῆς ἐκκλησίας ταύτης ἐν βάρει ἀλύτου καὶ αἰωνίου ἀφορισμοῦ τοῦ ἀπὸ θεοῦ παντοκράτορος. ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα καὶ ἐπεδόθη τῷ ἱερῷ μοναστηρίῳ τοῦ Θεολόγου. ,αψιθ΄, μηνὶ ἰανουαρίῳ, ἰνδικτιῶνος ιβ΄. †

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἡρακλείας Δανιήλ. †
† Ὁ Καισαρείας Γεράσιμος. †
† Ὁ Λήμνου Διονύσιος. †
† Ὁ Μιτυλήνης Νικόδημος. †
† Ὁ Κυζίκου Αὐξέντιος. †
† Ὁ Λαρίσσης Παρθένιος. †

† Ὁ Δρίστρας Ἱερόθεος. †
† Ὁ Νικομηδείας Παΐσιος. †
† Ὁ Βερροίας Μακάριος. †
† Ὁ Ῥόδου Ἰγνάτιος. †
† Ὁ Σερρῶν Ἄνθιμος. †

*Archetyp. membr. cum bulla plumbea. Flor. II. nro 62. Nomina metropolitarum in altero veteri exemplari, quod nobis misit I. Sakkelion, sunt:* Ὁ Ἡρακλείας Ἰωαννίκιος. Ὁ Κυζίκου Αὐξέντιος. Ὁ Νικομηδείας Παΐσιος. Ὁ Νικαίας Γεράσιμος. Ὁ Λαρίσσης Δωρόθεος. Ὁ Βερροίας Μακάριος. Ὁ Λήμνου Διονύσιος. Ὁ Δέρκων Νικόδημος. Ὁ Ῥόδου Ἰγνάτιος. Ὁ Μιτυλήνης Νικόδημος. Ὁ Δρίστρας Ἱερόθεος. . . . . . *Ecclesia, de qua agitur, a Floride vocatur* τῆς Ὑπαπαντῆς.

## CXLIII. 7229—1721, mense iulio, ind. XIV.

*Patriarcha Ieremias III. concedit, ut colligantur eleemosynae in ecclesiis Urbis et locorum, quae circumiacent, in auxilium monasterii ad inopiam redacti.*

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.

† Πολλοὶ μὲν καὶ ἄλλοι τρόποι τυγχάνουσι, δι᾽ ὧν ἔχοι ἄν τις ἐγγίζειν θεῷ καὶ ἐξομοιοῦσθαι αὐτῷ κατὰ τὸ δυνατὸν θεὸς κατὰ χάριν γινόμενος κατὰ τὸ προφητικὸν θεῖον λόγιον· «ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου». ὁ ὑπερέχων δὲ καὶ θεῷ μᾶλλον εὐπρόσδεκτος πέφυκεν ὁ διὰ τῆς ἐλεημοσύνης καὶ εὐποιΐας· ἐπ᾽ οὐδενὶ γὰρ τῶν ἁπάντων, κατὰ τὴν θεολόγον φωνήν, ὡς ἐλέῳ θεὸς θεραπεύεται, τούς τε ἐλεήμονας μακαρισμοῦ κρίνει ἀξίους «μακάριοι, λέγων, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται», ῥύεται δὲ καὶ ψυχὴν ἐπὶ θανάτου ἡ ἐλεημοσύνη, ὅθεν καὶ ὁ μακάριος ἀπόστολος παραινεῖ λέγων· «τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός». οὕτως οὖν ψυχωφελὴς καὶ θεοφιλὴς ὑπάρχουσα ἡ ἐλεημοσύνη καὶ τοσαύτην ἔχουσα τὴν ὑπεροχὴν καὶ ὠφέλειαν πᾶσιν ἁπλῶς τοῖς ἐνδεέσι χορηγουμένη, πολλῷ μᾶλλον ὑπερτερεῖ καὶ μείζονα τὴν ἰσχὺν καὶ τὴν παρρησίαν πρὸς κύριον κέκτηται καὶ πλουσιωτέραν τὴν χάριν καὶ ἀμοιβὴν τοῖς ἐλεήμοσιν ἀντιβραβεύει θεόθεν, ὅταν πρὸς ἱεροὺς ναοὺς καὶ καταγώγια θεῖα διανέμηται, ἐν οἷς συνδιαιτῶνται ἄνδρες εὐσεβεῖς καὶ εὐλαβεῖς ὁσίως καὶ θεοφιλῶς πολιτευόμενοι καὶ τὸ τοῦ θεοῦ ὄνομα ὑμνοῦντες καὶ δοξολογοῦντες ἀκαταπαύστως ταῖς ἐν νυκτὶ καὶ ἡμέρᾳ ἱεραῖς ἀκολουθίαις καὶ ψαλμῳδίαις καὶ ταῖς ἀδιαλείπτως ἐκτελουμέναις θείαις μυσταγωγίαις ἐπὶ ψυχικῇ σωτηρίᾳ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν. ἐπειδὴ τοιγαροῦν καὶ κατὰ τὴν νῆσον Πάτμον εὑρίσκεται ἱερὸν καὶ σεβάσμιον μοναστήριον τιμώμενον ἐπ᾽ ὀνόματι τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἐπίσημον καὶ περίβλεπτον διατελέσαν ἄνωθεν, ὅπερ πρότερον μὲν ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. Επ. Κ. Π ΙΩΑΝΝΙΝΑ 2006

εὐημερίᾳ καὶ εὐπορίᾳ ὑπῆρχε, τὰ νῦν δὲ ὑπὸ τῆς ἀνωμαλίας καὶ περιπετείας τοῦ χρόνου καὶ τῆς τοῦ ἡμετέρου γένους δυστυχίας αὐξηνθέντων μάλιστα καὶ τῶν κατ᾽ ἔτος αὐθεντικῶν δοσιμάτων εἰς ἔνδειαν καὶ ἀπορίαν κατήντησε μὴ δυνάμενον ἔχειν τὴν προτέραν κυβέρνησιν, οὗ ἕνεκα οἱ συνασκούμενοι ἐν αὐτῷ πατέρες προσέδραμον τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν ἱερᾷ τῶν ἀρχιερέων συνόδῳ ἱκετεύοντες καὶ δεόμενοι διὰ θερμῶν παρακλήσεων βοηθῆσαι αὐτοῖς τὸν ἐνόντα τρόπον καὶ πόρον τινὰ διαρκέστερον τῇ σφῶν χορηγῆσαι ἀνάγκῃ. καὶ δὴ ἠξίωσαν ἡμᾶς, ὅπως καταστήσωμεν αὐτοῖς κουτίον ἐλεημοσύνης κατὰ τὸ ἔθος τῶν λοιπῶν ἱερῶν τόπων καὶ μοναστηρίων ἐν τῷ περιέρχεσθαι ἐν ταῖς κατὰ τὴν Πόλιν καὶ Γαλατᾶν καὶ τὸ Κατάστενον ὅλον ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ συνάγειν παρὰ τῶν χριστιανῶν ἐλεημοσύνην ἐπ᾽ ὀνόματι τοῦ ῥηθέντος ἱεροῦ αὐτῶν μοναστηρίου καὶ τῷ τρόπῳ τούτῳ δυνηθῆναι εὑρεῖν αὐτοὺς μικρὰν βοήθειαν καὶ περίθαλψιν, ἄνεσίν τε καὶ ἐλάφρωσιν τῆς ἐπικειμένης αὐτοῖς ἐνδείας καὶ ἀνάγκης. τούτου χάριν τὴν δέησιν καὶ ἀξίωσιν αὐτῶν ταύτην ὡς εὔλογον καὶ ἀποδοχῆς ἀξίαν εὐμενῶς ἀποδεξάμενοι, ἄλλως τε διὰ φροντίδος ὅτι πλείστης καὶ σπουδῆς ποιούμενοι τοῖς θείοις σκηνώμασι καὶ ἱεροῖς καταγωγίοις χεῖρα βοηθείας ὀρέγειν καὶ συνεργεῖν ὅση δύναμις ἐπὶ τῷ διακυβερνᾶσθαι καὶ διαμένειν ταῦτα διηνεκῶς καὶ τῇ παρατάσει τοῦ χρόνου συμπαρεκτείνεσθαι, μήτε συγχωρῆσαι ταῦτα ἁλώσιμα γίνεσθαι τῷ πανδαμάτορι χρόνῳ καὶ ὑπ᾽ ἐνδείας καὶ ἀνάγκης κατὰ μικρὸν ὑπορρεῦσαι καὶ εἰς τὸ μὴ ὂν περιελθεῖν γράφοντες διὰ τοῦ παρόντος γνώμῃ καὶ συναινέσει τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων, κυρίου Χρυσάνθου, τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων συναδελφῶν ἡμῶν ἀρχιερέων καὶ ὑπερτίμων, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς περιέρχηται ἀκωλύτως καὶ ἀνεμποδίστως κουτίον ἐλεημοσύνης ἐπ᾽ ὀνόματι τοῦ σεβασμίου καὶ βασιλικοῦ μοναστηρίου τοῦ ἐν τῇ νήσῳ Πάτμῳ, τοῦ τιμωμένου ἐπ᾽ ὀνόματι τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, ἐν πάσαις ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις Πόλεώς τε καὶ Γαλατᾶ καὶ ὅλου τοῦ Καταστένου ἐπὶ τῷ συνάγεσθαι παρὰ τῶν εὐσεβῶν χριστιανῶν τὴν αὐτοπροαιρέτως χορηγουμένην ὑπ᾽ αὐτῶν ἐλεημοσύνην πρὸς μερικὴν περίθαλψιν, βοήθειάν τε καὶ κυβέρνησιν τῶν συνασκουμένων ἐκεῖσε ὁσιωτάτων πατέρων καὶ μοναχῶν, νουθετοῦμεν δὲ καὶ συμβουλεύομεν πατρικῶς καὶ πνευματικῶς, ὅπως ἕκαστος τῶν εὐσεβῶν χριστιανῶν, ἱερωμένων καὶ λαϊκῶν πάσης καὶ παντοίας τάξεώς τε καὶ καταστάσεως, εὐγνωμόνως καὶ ἀγογγύστως καὶ μετ᾽ ἀγαθῆς καὶ συμπαθοῦς προαιρέσεως παρέχῃ καὶ διδῷ ἐλεημοσύνην εἰς

τὸ κουτίον αὐτό, ἵνα ἀξιωθῇ παρὰ θεοῦ ἐπάξιον τὸν μισθὸν τῆς τοιαύτης αὐτοῦ προαιρέσεως· καὶ γὰρ «ἱλαρὸν δότην ἀγαπᾷ ὁ θεός», καθὼς τὰ ἱερά φησι λόγια· ὡσαύτως καὶ τὸ ἱερὸν αὐτὸ καὶ σεβάσμιον μοναστήριον μετὰ τῶν ἐνασκουμένων ἐν αὐτῷ πατέρων διὰ τῆς θεαρέστου ὑμῶν ἐλεημοσύνης καὶ συνδρομῆς ταύτης δυνηθῇ εὑρεῖν ὀλίγην ἄνεσιν καὶ ἐλάφρωσιν τῆς ἐπικειμένης αὐτῷ ἀνάγκης καὶ στενοχωρίας, κυβέρνησίν τε καὶ σύστασιν καὶ ἀνενόχλητον διαγωγὴν τῆς μοναδικῆς καταστάσεως τῶν συνασκουμένων καὶ συναγωνιζομένων καὶ ἐπαγρυπνούντων ἐν αὐτῷ ἱερῶν ἀνδρῶν καὶ δεομένων ἐκτενῶς τοῦ ἐλεήμονος θεοῦ ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν, ὑγείας καὶ σωτηρίας πάντων τῶν ἐλεούντων αὐτοὺς χριστιανῶν, ὧν ταῖς δεήσεσιν ἐπικαμπτόμενος ὁ κύριος ἀντικαταπέμψοι ὑμῖν πλούσια τὰ ἐλέη αὐτοῦ ἐκ τῶν ἀκενώτων αὐτοῦ θησαυρῶν καὶ δῴη ὑμῖν τε καὶ τοῖς τέκνοις ὑμῶν τὴν εὐλογίαν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ εὐλογῇ τοὺς κόπους ὑμῶν καὶ πληθύνῃ καὶ αὐξάνῃ τὰ ὑπάρχοντα ὑμῶν καὶ τέλος ἀξιώσῃ ὑμᾶς καὶ τῆς οὐρανίου αὐτοῦ βασιλείας. καὶ οὕτω μὲν ποιοῦντες εἴητε εὐλογημένοι καὶ συγκεχωρημένοι παρὰ πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ὃς δ' ἄν τις τῶν ἁπάντων τολμήσῃ ἐναντιωθῆναι καὶ ἀντειπεῖν τοῖς ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθεῖσι καὶ γεγραμμένοις ἢ ἐπιχειρισθῇ ποτε ἀνατρέψαι καὶ διασεῖσαι τὴν σύστασιν καὶ περιφορὰν τοῦ ῥηθέντος κουτίου καὶ ἐμποδίσαι οἱῳδήτινι τρόπῳ τὴν συναγομένην ἐλεημοσύνην παρὰ τῶν εὐσεβῶν χριστιανῶν ἐπ' ὀνόματι τοῦ ἐν τῇ νήσῳ Πάτμῳ εἰρημένου σεβασμίου μοναστηρίου, βλάβην τε οἱανοῦν καὶ ζημίαν προξενῆσαι τοῖς ἐνασκουμένοις αὐτῷ πατράσιν, ὁ τοιοῦτος, ὁποίας ἂν εἴη τάξεως καὶ ὁποίου βαθμοῦ, ἱερωμένος ἢ λαϊκός, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα καὶ τῶν θεομάχων Ἰουδαίων. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν τῆς γενομένης ἤδη συνοδικῆς ἀποφάσεως περὶ τοῦ περιέρχεσθαι ἀνεμποδίστως κουτίον ἐλεημοσύνης ἐπ' ὀνόματι τῆς ἐν τῇ νήσῳ Πάτμῳ σεβασμίας μονῆς ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν ἡμέτερον πατριαρχικὸν ἐπιβεβαιωτήριον γράμμα καὶ ἐδόθη τοῖς ἐν τῇ μονῇ ταύτῃ πατράσι. ͵αψκα', ἐν μηνὶ Ἰουλίῳ, ἰνδικτιῶνος ιδ'. †

† Ὁ Ἱεροσολύμων ἐν πνεύματι ἁγίῳ συναποφαίνεται. †

† Ὁ Κυζίκου Αὐξέντιος. † † Ὁ Δέρκων Ἄνθιμος. †

† Ὁ Χαλκηδόνος Παρθένιος. † † Ὁ Νικαίας Γεράσιμος. †

† Ὁ Γάνου καὶ Χώρας Γρηγόριος. † † Ὁ Βάρνης Καλλίνικος. †
† Ὁ Νικομηδείας Παΐσιος. † † Ὁ Προικονήσου Γεράσιμος. †
† Ὁ Προύσης Κύριλλος. †

*Archetyp. chart. Flor. II. nro 63. Alterum exemplar nro 64, in quo nomina metropolitarum haec sunt:* † Ὁ Νικομηδείας Παΐσιος. Ὁ Νικαίας Γεράσιμος. Ὁ Χαλκηδόνος Παρθένιος. Ὁ Προύσης Κύριλλος. Ὁ Βερροίας Μακάριος. Ὁ Μιτυλήνης Νικόδημος. Ὁ Ἀγγύρας Νεόφυτος. Ὁ Λακεδαιμονίας Ἀρσένιος. *In exemplari antiquo desideratur nomen metropolitae Prusae; metropolita* Δέρκων *vocatur* Νικόδημος *et* Προικονήσου Γαβριήλ.

## CXLIV. 7230—1722, mense aprili, ind. XV.

*Acta de dominio canonico ecclesiae S. Georgii dictae Pothae in Patmo.*

Ἴσον ἀπαράλλακτον ἐκ τοῦ πρωτοτύπου ευγαλμένον.

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁσιώτατε καθηγούμενε τῆς ἱερᾶς βασιλικῆς καὶ σταυροπηγιακῆς μονῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου τῆς ἐν τῇ νήσῳ Πάτμου καὶ λοιποὶ ὁσιώτατοι προηγούμενοι καὶ πατέρες καὶ χρήσιμοι ἄρχοντες καὶ γέροντες τῆς αὐτῆς πολιτείας, χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ θεοῦ, ἐπειδὴ καὶ ὁ εἰς τὰ αὐτόθι εὑρισκόμενος ἱερὸς καὶ σεβάσμιος ναὸς τοῦ μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, ἐπικεκλημένος δὲ τῆς Πόθας καὶ πλησίον τοῦ παπᾶ Νικήτα κείμενος διετέλει μὲν καὶ πρότερον ἐπὶ τὴν δεσποτείαν καὶ ἐπίσκεψιν τοῦ Διακοϊωάννου Καλλονᾶ, ὡς κτητορικὸν κτῆμα καὶ κατὰ κλῆρον διαδοχῆς παρὰ τῶν αὐτοῦ προγόνων εἰς αὐτὸν κατελθών, ἤδη δὲ ἐν τοῖς νῦν χρόνοις ἠβουλήθησάν τινες ἰδιοποιηθῆναι αὐτὸν ἀμετόχως καὶ ἀπαλλοτριῶσαι ἐκείνου, ἄλλος ἄλλην προβάλλων καὶ προφασιζόμενος πρόφασιν, ὧν γε ἁπάντων εἰς ἀνατροπὴν καὶ ἀναίρεσιν καὶ διάλυσιν καὶ παράστασιν τοῦ νομίμου καὶ γνησίου κληρονόμου καὶ οἰκείου δεσπότου, ἐρεύνης ἀκριβοῦς καὶ ἐξετάσεως γενομένης ἐλθὼν εἰς μέσον τῆς αὐτόσε συνελεύσεως τῶν τε γερόντων καὶ προεστώτων τῆς αὐτῆς νήσου Πάτμου ὁ ὁσιώτατος προηγούμενος τῆς αὐτῆς ἱερᾶς μονῆς τοῦ ἁγίου, ἐνδόξου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, παπᾶ Ἰάκωβος, ἀνὴρ δόκιμος καὶ εὐλαβὴς τὰ θεῖα ἐξ ἁπαλῶν τε ὀνύχων τὴν μοναδικὴν ἐγγυμνασθεὶς πολιτείαν καὶ τὸ ἀγγελικὸν ἠμφιασθεὶς σχῆμα, εἰς πρεσβυτικήν τε ἐληλακὼς

ἡλικίαν καὶ ἀμφὶ τὰ ἓξ καὶ ἑβδομήκοντα γεγονὼς ἔτη ὡμολόγησεν ἐν φόβῳ θεοῦ ἀτεχνῶς καὶ ἀνυπόπτως, ὡς ὁ προρρηθεὶς ἱερὸς ναὸς τοῦ μεγαλομάρτυρος Γεωργίου πάλαι μὲν καὶ κατ' ἀρχὰς ἔκειτο ὑπὸ τὴν δεσποτείαν καὶ ἐπίσκεψιν τῆς Πόθας, ἥτις ἔσχε δύω θυγατέρας, Λήμναιαν καὶ Καλὴν ὀνομαζομένας, καὶ ὑπανδρεύσασα τὴν Λήμναιαν ἐδωρήσατο καὶ ἐπροικοδότησεν αὐτῇ τὸν ῥηθέντα ναὸν καὶ ἦν ψάλλων ἐν αὐτῷ ὁ ἀνὴρ ἐκείνης, παπᾶ Στέφανος, τῆς δὲ Λημναίας αὐτῆς ἀπαίδου τελευτησάσης παρέλαβε καὶ διεδέξατο αὐτὸν ἡ ἐκείνης ἀδελφὴ Καλή, ἧς ἀπόγονος ὁ Ἰωάννης Καλλονᾶς, ᾧτινι οἷα προσήκοντι τῷ γένει καὶ νομίμῳ ἐκείνης κληρονόμῳ περιῆλθε λόγῳ κληρονομίας ὁ ῥηθεὶς ναός. καὶ δὴ τοῖς τοῦ ῥηθέντος προηγουμένου, παπᾶ Ἰακώβου, ἀληθέσι λόγοις πιστωθέντες καὶ βεβαιωθέντες τὴν ἀλήθειαν πᾶσαν τῆς ὑποθέσεως ταύτης ὅ τε προηγούμενος, [κῦρ] Ἀθανάσιος, μετὰ τῶν λοιπῶν πατέρων τῆς ἱερᾶς ταύτης μονῆς καὶ οἱ ἄρχοντες καὶ προεστῶτες τῆς αὐτῆς νήσου Πάτμου ὑπέγραψαν εἰς τὸ τοῦ ῥηθέντος προηγουμένου μαρτυρικὸν γράμμα διδόντες πρὸς τὸν Διακοϊωάννην αὐτὸν καὶ ἕτερον νοταρικὸν γράμμα ἐκ μέρους αὐτῶν πατρικὸν εἶναι κτῆμα τὸν ναὸν ἀποδεικνύων καὶ παριστῶν, ὅπερ γενόμενος ἐνταῦθα εἰς Κωνσταντίνου. καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν τῶν συναδελφῶν ἀρχιερέων ἐμφανίσας ὁμήγυριν ἐδεήθη ἐπικυρωθῆναι αὐτὰ καὶ δι' ἡμετέρου πατριαρχικοῦ γράμματος, ἐφ' ᾧ τὸ γνήσιον τῆς τοῦ ῥηθέντος ναοῦ καὶ παρ' ἡμῶν λαβὼν δεσποτείας ἀνενόχλητος καὶ ἀνεπηρέαστος μένῃ εἰς τοὐπιὸν καὶ περιέρχεσθαι ταύτην ἐπὶ τοῖς τούτου παισὶ καὶ κληρονόμοις ἀναντιρρήτως καὶ ἀλογοπραγήτως, ἀληθῆ δὲ τὰ ἅπερ ἐπιφέρει κρίναντες γράμματα καὶ εὐλογοφανῆ εἶναι τὴν τούτου αἴτησιν, ἀπεδέχθημεν ταύτην. τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ὁ διαληφθεὶς ναὸς τοῦ μεγαλομάρτυρος Γεωργίου μένῃ αὖθις καὶ σώζηται ὑπὸ τὴν δεσποτείαν καὶ διοίκησιν τοῦ προλεχθέντος Διακοϊωάννου Καλλονᾶ ἀναπόσπαστόν τε καὶ ἀναφαίρετον κτῆμα, οἷα νομίμου ἀναφανέντος κληρονόμου καὶ κατιέναι αὐτὸν κατὰ κλῆρον διαδοχῆς ἐπὶ τοῖς αὐτοῦ τέκνοις καὶ κληρονόμοις, κοσμεῖν δ' οὖν αὐτόν, εὐτρεπίζειν τε καὶ φωταγωγεῖν, ψάλλειν τε καὶ ἱερουργεῖν ἔν τε ταῖς κυριακαῖς πάσαις καὶ ταῖς ἑορτασίμοις τῶν ἡμερῶν ἀόκνως, οἱ δὲ κατὰ καιροὺς ἐν τῷ ῥηθέντι ναῷ ἐφημερεύοντες αὐτόν τε καὶ τοὺς αὐτοῦ διαδόχους κυρίους τούτου γινωσκέτωσαν καὶ ἐπ' ἀδείας αὐτῶν ἐκείνῳ ψαλλέτωσαν. ὅστις δ' οὖν τῶν πάντων ἐπιχειρίσῃ οἱῳδήτινι τρόπῳ ἀποσπάσαι αὐτοῦ καὶ ἰδιοποιηθῆναι τὸν ῥηθέντα ναὸν ἀμετόχως, ὁ τοιοῦτος ἱερεὺς μὲν ὢν ἀργὸς μενέτω πάσης ἱεροπραξίας καὶ τάξεως καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ Ε. Δ. ΙΩΑΝΝΙΝΑ 2006

ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ καὶ ἐνοριακοῦ εἰσοδήματος παρ᾽ οὐδενὸς συμφορούμενος ἢ συλλειτουργούμενος ἢ ὡς ἱερεὺς τιμώμενος ἢ τὴν χεῖρα ἀσπαζόμενος ἐν βάρει ἀργείας καὶ ἀλύτου ἀφορισμοῦ, λαϊκὸς δὲ ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ προκοπὴν οὐ μὴ εἴδοι πώποτε. ὅθεν εἰς ἔνδειξιν τοῦ εἶναι καὶ λέγεσθαι τὸν διαληφθέντα Διακοϊωάννην Καλλονᾶν καὶ τοὺς αὐτοῦ κληρονόμους κυρίους καὶ ἐξουσιαστὰς τοῦ ῥηθέντος θείου ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν γράμμα καὶ ἐπεδόθη αὐτῷ ἐπὶ διηνεκεῖ ἀσφαλείᾳ καὶ βεβαιώσει. ͵αψκβ΄, ἐν μηνὶ ἀπριλλίῳ, ἰνδικτιῶνος ιε΄. †

Ὑπογεγραμμένον ὑπὸ ἕνδεκα ἀρχιερέων. καθηγούμενος Γερμανὸς Πάτμου βεβαιῶ, ὅ τε ἴσον ἐστί.

*Exemplar chart. Flor. II. nro 81, qui haec habet:* ὑπὸ τὸν ἀριθμὸν τοῦτον κατετάξαμεν τέσσαρα ἀντίγραφα σιγιλλίων περὶ τῆς αὐτῆς ἐκκλησίας τῶν Ἀπορθιανῶν. *Sub nro 80, cuius exemplar non nacti sumus, haec scribit:* Σωφρονίου β΄ σιγίλλιον ἐν μεμβράνῃ περὶ τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου τῶν Ἀπορθιανῶν τὸ *1777*. ἄρχεται· «ὁμολογούμενόν ἐστι παρὰ πᾶσι καὶ ἀναντίρρητον, ὅτι τῶν κατὰ καιροὺς γενομένων καὶ περατουμένων ὑποθέσεων, ὅσαι μὲν εἰσὶ κατὰ λόγον τε καὶ κανόνας, ἐκεῖναι πάντως καὶ ἀδιάβλητοί εἰσιν». *Qui nobis tabulas recentiores descripsit in tabulario coenobii, addit:* ἔχει μολύβδινον σφραγῖδα καὶ ιβ΄ ὑπογραφὰς ἀρχιερέων. *De tabulis insertis nro 81 autem haec habet:* Ἀντίγραφον α΄. *(quod edimus:)* Ἐπειδὴ ἐνεφανίζοντο κληρονόμοι ταύτης (τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου) ποτὲ μὲν ἐκ μιᾶς οἰκογενείας, ποτὲ δὲ ἐξ ἑτέρας, ἐξεδίδοντο σιγίλλια παρέχοντα κανονικὴν κληρονομίαν. Ἀντίγραφον β΄. Τοῦ πατριάρχου Παϊσίου. Ἡ αὐτὴ ὑπόθεσις. ἤδη ἀποθανόντος τοῦ Διακοϊωάννου Καλλονᾶ παρέχεται τὸ κληρονομικὸν δικαίωμα τῷ υἱῷ αὐτοῦ Παντελῇ Καλλονᾷ. ͵αψκδ΄ *(1724)* ἐν μηνὶ αὐγούστῳ ἰνδ. ζ΄. ὑπογεγραμμένον ὑπὸ δεκαεπτὰ ἀρχιερέων. Ἀντίγραφον γ΄. Τοῦ πατριάρχου Σαμουήλ. Ἡ αὐτὴ ὑπόθεσις παρέχεται δὲ τὸ δικαίωμα κληρονομίας εἰς τὸν Μάρκον Ῥάλλην καὶ Κυριακήν, ἐγγόνους Ἰωάννου Καλλονᾶ. ͵αψξγ΄ *(1763)*, ἐν μηνὶ ὀκτωβρίῳ, ἰνδ. ια΄, ὑπογεγραμμένον ὑπὸ ιβ΄ ἀρχιερέων. Ἀντίγραφον δ΄. Τοῦ αὐτοῦ πατριάρχου. Τὸ σιγίλλιον τοῦτο ἀποκρούει τὰς ἀπαιτήσεις ἑτέρων ἀντιποιουμένων τὴν κληρονομίαν τῆς ἐκκλησίας ταύτης καὶ ἀναγνωρίζει τὸν Μάρκον Ῥάλλην καὶ τὴν Κυριακὴν (ἐξαδέλφους) ὡς γνησίους κληρονόμους. ͵αψξζ΄ *(1767)*, ἐν μηνὶ ἀπριλλίῳ, ἰνδ. ιε΄, ὑπογεγραμμένον ὑπὸ ἕνδεκα ἀρχιερέων. *Sub nro 85 exstat alia tabula de eadem ecclesia, de qua Fl. haec habet:* Γαβριὴλ δ΄ σιγίλλιον ἐν μεμβράνῃ περὶ τῆς ἐκκλησίας τοῦ ἁγίου Γεωργίου τῷ *1785*. ἄρχεται· «δεινόν γε ὡς ἀληθῶς τὸ ψεῦδος καὶ οἷον νικᾶν τε καὶ κατα-

βάλλειν τὴν ἀλήθειαν». *Addit qui nobis descripsit alias tabulas recentiores:* κατὰ μῆνα ἰούνιον, ἐπινεμήσεως πρώτης, μετὰ δέκα συνοδικῶν ὑπογραφῶν καὶ μολυβδίνης σφραγῖδος ἐπικυροῖ τὰ κληρονομικὰ καὶ ἀναφαίρετα δίκαια διὰ τὴν ἐκκλησίαν τοῦ ἁγίου Γεωργίου τῆς Πέθας εἰς τὰ τέκνα τοῦ Γεωργίου, υἱοῦ τῆς Θεολογοῦς καὶ τῆς Ἄννης, θυγατρὸς Κοιλῆς. *Confer. uro CLII.*

## CXLV. 7230—1722, mense iunio, ind XV.

*Patriarcha Ieremias III. confirmat privilegia et libertates monasterii.*

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ἔθος ἐπεκράτησεν ἄνωθεν καλῶς ἐς τὰ μάλιστα καὶ προσηκόντως διενεργούμενον ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ τῇ τοῦ οἰκουμενικοῦ θρόνου πατριαρχικῇ περιωπῇ καὶ μεγαλειότητι, ὅπως τὰ ὑποκείμενα τῇ προστασίᾳ καὶ δεφενδεύσει αὐτοῦ ἱερὰ σταυροπήγια καὶ τούτων μάλιστα, ὅσα ἀνέκαθεν εὐσεβεστάτων βασιλέων φιλοτιμίαις καὶ χρυσοβούλλοις καὶ τῶν κατὰ καιροὺς ἁγιωτάτων πατριαρχῶν γράμμασι σταυροπηγιακοῖς ἔσχον τὸ πάντη ἐλεύθερον αὐτῶν καὶ ἀδούλωτον, ἅτε λαμπρότητι ἄνωθεν καὶ ἐπιφανείᾳ κεκοσμημένα, ἔν τε οἰκοδομῆς κάλλει καὶ θαυμάτων ἐκφάνσεσι καθ' ὑπερβολὴν ὑπερανεστηκότα καὶ ὑπερκείμενα γράμμασι νεωτέρους ἀνακαινίζῃ κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν καὶ ἐπιβεβαιοῖ τὴν ἀρχαίαν αὐτῶν ἀξίαν καὶ σταυροπηγιακὴν φιλοτιμίαν, μηδὲ ἐᾶν τῇ παρατάσει τοῦ χρόνου ἀμαυροῦσθαι ποσῶς καὶ λήθην ἀμπίσχεσθαι τὸ ἀρχαῖον κάλλος καὶ τῶν φιλοτιμημάτων καὶ προνομίων τὴν ὑπεροχὴν καὶ λαμπρότητα· «πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἐστιν ἀφανισμοῦ», ὡς τὸ ἱερόν φησι λόγιον. ὅθεν οἱ κατὰ καιροὺς τοῦ οἰκουμενικοῦ θρόνου ἀνειλημμένοι τοὺς οἴακας κυβερνῆται καὶ τὰς ὑποκειμένας αὐτῷ ἁγίας ἐκκλησίας καὶ σεπτὰ τοῦ θεοῦ σκηνώματα εὐσεβοφρόνως καὶ ἀνεπιμώμως ὡς οἷόν τε διεξάγειν προτεθυμημένοι πρὸ πάντων μάλιστα τῆς τοιαύτης ἐκείνων συστάσεως καὶ διαμονῆς ἐκφροντίζουσι καὶ φιλοδωρεῖσθαι τούτοις μεταγενέστερα σιγιλλιώδη σταυροπηγιακὰ γράμματα οὐκ ἀπαναίνονται, παλινζωίαν τινὰ καὶ ἐκ νέου ἐπιβεβαίωσιν, ταὐτὸν δ' εἰπεῖν, ἀιδιότητα καὶ ἀνέκλειπτον συντήρησιν δι' αὐτοῦ τούτοις προμνηστευόμενοί τε καὶ μηχανώμενοι, ἅτε τὸ καλῶς φθάσαντα ἐξ ἀρχῆς εἰς ὕπαρξιν προαχθῆναι καὶ ἐπὶ πλεῖστον κάλλους καὶ δόξης θείᾳ βουλῇ προκεχωρηκέναι, δεφενδεύειν ὡς οἷόν τε χρέος ἀπαραίτητον κεκτημένοι. ἐπειδὴ τοιγαροῦν καὶ ἡ ἐν τῇ νήσῳ Πάτμῳ

εὑρισκομένη ἱερά, σεβασμία, βασιλική τε καὶ σταυροπηγιακὴ μονὴ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου οὐ μόνον ἀρχαιότητι ἐπίσημος τυγχάνει καὶ οἰκοδομῆς κάλλει ὑπερφυῶς ἐστι κεκοσμημένη, ἅτε βουλῇ καὶ ἀδείᾳ τῶν πάλαι θεοσεβῶν αὐτοκρατόρων καὶ ἀοιδίμων βασιλέων μεγαλοπρεπῶς καὶ φιλοτίμως ἀνεγηγερμένη ὑπὸ τοῦ εὐλαβεστάτου ἐν μοναχοῖς Χριστοδούλου καὶ μετὰ ταῦτα διὰ βασιλικῶν χρυσοβούλλων τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου κῦρ Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ τῶν κατ' ἐκεῖνον καιρὸν ἀκμασάντων ἁγιωτάτων πατριαρχῶν σταυροπηγιακῶν γραμμάτων τὴν τελείαν ἐλευθερίαν καὶ αὐτεξουσιότητα, τό τε πάντη ἀσύδοτον καὶ ἀνενόχλητον προσειληφυῖα, καθὼς σαφῶς φαίνεται ἐκ τῶν σωζομένων τέως πατριαρχικῶν σιγιλλιωδῶν γραμμάτων παριστώντων ἐναργῶς τὴν ἀρχαίαν αὐτῆς βασιλικὴν καὶ σταυροπηγιακὴν φιλοτιμίαν, φθάσασαν ἔστ' ἐπὶ τῶν χρόνων τοῦ προχρηματίσαντος ἀοιδίμου πατριάρχου, κῦρ Διονυσίου, καὶ ἐπιβεβαιωθεῖσαν καὶ ὑπ' αὐτοῦ διὰ πατριαρχικοῦ σιγιλλίου ἐμπεδοῦντος καὶ ἐπικυροῦντος πάντα τὰ προεκδοθέντα κατὰ καιροὺς τῇ ῥηθείσῃ μονῇ τῆς σταυροπηγιακῆς ἀξίας γράμματα. ἀλλὰ προσέτι καὶ ἁγιότητι κατ' ὑπεροχὴν ὑπερίδρυται, αἰδοῦς τε καὶ εὐλαβείας οὐ τῆς τυχούσης ἐστὶν ἀξία, καθόσον ὁ οὐρανοβάμων ἐκεῖνος καὶ ὑψιπέτης ἐν θεολογίᾳ ἀετός, ὁ κατ' ἐξαίρετον λόγον ἐν τοῖς μαθηταῖς τὴν τοῦ φίλου καὶ παρθένου κλῆσιν καὶ προσηγορίαν κεκληρωμένος, ὁ καὶ ἐπιστήθιος τοῦ δεσπότου γενέσθαι ἠξιωμένος ἐν ταύτῃ τῇ κατ' αὐτὸν νήσῳ τὴν μονὴν ἑαυτῷ ᾑρημένος τὸ μέγα καὶ ὑπερφυὲς τῆς αὐτοῦ θεολογίας συνέθετο καὶ συνεγράψατο εὐαγγέλιον, παρ' αὐτοῦ τοῦ πρώτου διδασκάλου Χριστοῦ τοῦ θεοῦ καὶ τοῦ παναγίου πνεύματος τὰ ἀπόρρητα καὶ ὑπερφυῆ τῆς εὐσεβοῦς ἡμῶν πίστεως ἐλλαμφθείς τε καὶ ἐνηχηθεὶς δόγματα, δι' οὗ τοῖς εὐσεβέσιν οὐ μόνον ἡ ἀληθὴς καὶ πάντη ἄπταιστος τοῦ ἐν τριάδι λατρευομένου θεοῦ ἐπίγνωσις καὶ φανέρωσις ὡς ἔκ τινος πρωτογόνου φωτὸς καὶ πηγῆς διειδεστάτης ἐπιλάμπεται καὶ προχέεται, ἀλλὰ καὶ ἡ πρὸς αὐτὸν νεῦσίς τε καὶ οἰκείωσις θαυμασίως κατορθοῦται καὶ διεκπεραίνεται, διὸ περιλάλητός ἐστι πανταχοῦ καὶ εὐφημεῖται τοῖς ἁπάντων στόμασιν οὐ μόνον ἡ σεβασμία αὕτη μονὴ ἡ καὶ τῷ τοῦ Θεολόγου διὰ τοῦτο τιμωμένη ὀνόματι, ἀλλὰ καὶ ἡ νῆσος ὅλη τοιοῦτον πλουτήσασα ἄνωθεν πολιοῦχον, οἰκιστήν τε καὶ κοσμήτορα, ἥτις κἂν τοῖς ἱεροῖς πυκτίοις τῶν ᾀσματικῶν ὕμνων τῆς ἁγίας ἡμῶν ἐκκλησίας μακαριζομένη διὰ τοῦτο ἐμφέρεται. τοιαύτην τοιγαροῦν οὖσαν τὴν ῥηθεῖσαν σεβασμίαν μονὴν καὶ σεμνυνομένην λαμπρῶς ἀπό τε τῶν τεραστίων καὶ ὑπερφυῶν αὐχημάτων τοῦ πανενδόξου ἀποστόλου καὶ Θεολόγου, ἀπό τε τῶν βασιλικῶν φιλοτιμημάτων καὶ προνομίων, καὶ μὴν καὶ ἀπὸ τῶν πατριαρχικῶν καὶ ἐκκλησιαστικῶν

γραμμάτων ἐπιβραβευσαμένων αὐτῇ τε καὶ τῇ κατ' αὐτὴν νήσῳ τὴν σταυροπηγιακὴν ἀξίαν, ἀσυδοσίαν τε καὶ ἐλευθερίαν οὐδ' ἡμεῖς παριδεῖν ἠνεσχόμεθα, μὴ, οὐχὶ φιλοτιμήσασθαι καὶ ἐπιδοῦναι αὐτῇ τὴν δι' ἡμετέρου γράμματος ἀνανέωσιν καὶ ἐπιβεβαίωσιν τῆς τοιαύτης σταυροπηγιακῆς ἀξίας, καὶ ταῦτα πατρίδα ταύτην γνησίαν λαχόντες καὶ τροφὸν καὶ γεννήτορα, μᾶλλον δὲ ἐπεὶ θείῳ ἐλέει τοῦ οἰκουμενικοῦ θρόνου τὴν ἀρχὴν ἀνεζωσάμεθα καὶ τῆς παγκοσμίου ταύτης ὁλκάδος τῆς τοῦ Χριστοῦ φαμὲν μεγάλης ἐκκλησίας τοὺς οἴακας ἐπιτετράμμεθα καὶ τῶν κατὰ μέρος ἁπανταχοῦ ἁγίων ἐκκλησιῶν τὴν πρόνοιαν ἐπιστεύθημεν, δεῖν ἔγνωμεν μάλιστα κατὰ χρέος ἀπαραίτητον ἀντιλαβέσθαι αὐτῆς τὸν ἐνόντα τρόπον, ἀντιπελαργοῦντες οἱονεὶ καὶ τροφεῖα ἀποτιννύντες τῇ ἐνεγκούσῃ κατάλληλα ἅμα καὶ ἡμῖν λόγῳ δικαίῳ ὀφειλόμενα, ἄλλως τε τῶν συνασκουμένων ἐν τῇ ῥηθείσῃ μονῇ ὁσιωτάτων πατέρων δεηθέντων θερμῶς ἡμῶν τε καὶ τῆς περὶ ἡμᾶς ἱερᾶς τῶν ἀρχιερέων συνόδου ἐπιδοῦναι καὶ ἐπιβραβεῦσαι αὐτοῖς τὴν ἀνανέωσιν καὶ ἐπιβεβαίωσιν τῆς ἀρχαίας σταυροπηγιακῆς φιλοτιμίας τῆς σεβασμίας ταύτης μονῆς. ὧν τὴν δέησιν καὶ ἀξίωσιν ὡς εὔλογον οὖσαν καὶ δικαίαν, ἀποδοχῆς τε μάλιστα ἀξίαν διὰ τὰς προρρηθείσας αἰτίας εὐμενῶς λίαν ἀποδεξάμενοι καὶ μάλιστα περὶ πολλοῦ ποιούμενοι τὴν σύστασιν καὶ διαμονὴν τῶν ἱερῶν σκηνωμάτων καὶ θείων καταγωγίων γράφοντες διὰ τοῦ παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα ἱερά, σεβασμία, βασιλικὴ τε καὶ σταυροπηγιακὴ μονὴ τοῦ ἁγίου, ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου ἡ κειμένη ἐν τῇ νήσῳ Πάτμῳ μετὰ πάντων τῶν ἁπανταχοῦ εὑρισκομένων κτημάτων καὶ ἀφιερωμάτων αὐτῆς, κινητῶν τε καὶ ἀκινήτων, μετοχίων τε καὶ παρεκκλησίων, τῶν τε προσόντων ἤδη αὐτῇ καὶ τῶν μετέπειτα προσκτηθησομένων εἴη καὶ διαμένῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ὡς βασιλική, πατριαρχική τε καὶ σταυροπηγιακή, τυγχάνουσα ἄνωθεν αὐτόνομος καὶ αὐτοδέσποτος, ἐλεύθερός τε καὶ ἀσύδοτος καὶ ἀδούλωτος καὶ ἀκαταπάτητος, ἀκαταζήτητός τε καὶ ἀνενόχλητος καὶ ἀνεπηρέαστος παρὰ παντὸς προσώπου, εἴτε ἀρχιερατικοῦ, εἴτε ἀρχοντικοῦ τε καὶ ἐξαρχικοῦ, πάσης τε καὶ παντοίας δουλαγωγίας ἀνωτέρα καὶ παντὸς βάρους καὶ ἀπαιτήσεως ἀπηλλαγμένη, μηδενὶ μηδὲν ὀφείλουσα παρέχειν ὁλοτελῶς, εἰ μὴ τὸ ἐπικρατῆσαν ἐτησίως δίδοσθαι τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ, μνημονευομένου ἐν αὐτῇ ἀεννάως τοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, καὶ μηδενί τινι ἄλλῳ ὑποκειμένη, εἰ μὴ μόνον τῷ πατριαρχικῷ καὶ οἰκουμενικῷ τούτῳ θρόνῳ καὶ ὑπ' αὐτοῦ προστατευομένη, διεξαγομένη τε καὶ

διακυβερνωμένη, κρινομένη τε καὶ ἐξεταζομένη ὡς αὐτοδέσποτος καὶ αὐτεξούσιος ἅμα τῇ νήσῳ πάσῃ καὶ τοῖς κατὰ διαφόρους τόπους εὑρισκομένοις μετοχίοις αὐτῆς διατελοῦσα, τόν τε καθηγούμενον αὐτῆς μηδενί τινι προσώπῳ ἐκκλησιαστικῷ ἢ κοσμικῷ πώποτε ὑποκεῖσθαι, ἀλλὰ τὴν πατριαρχικὴν μόνην μεγαλειότητα κεφαλὴν ἐπιγινώσκειν, διεξάγειν τε τὸν αὐτὸν ἡγούμενον πνευματικῶς τούς τε συνασκουμένους ἐν τῇ μονῇ καὶ πάντας τοὺς αὐτὴν τὴν νῆσον οἰκοῦντας καὶ τοὺς προσκαθημένους ἐν τοῖς τῆς μονῆς κτήμασι καὶ πράγμασι καὶ τούτων ἔχειν τὴν πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ ποιμαίνειν αὐτοὺς ἐκκλησιαστικῶς κατὰ τὴν ἐνοῦσαν αὐτῷ δύναμιν. ὅταν δὲ χρεία γένηται παρ᾽ αὐτοῖς χειροτονίας, ἔχωσιν ἄδειαν προκαλεῖν, ὃν ἂν ἐθελήσωσιν ἐκ τῶν ἀρχιερέων, ἐπὶ τῷ ἐκτελεῖν τὰς χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως ἀναντιρρήτως καὶ ἀνεμποδίστως, ἀλλὰ καὶ ἐν στερήσει ἡγουμένου γενόμενοι ἔχωσιν ἐκλέγεσθαι καθ᾽ ἑαυτοὺς καὶ προχειρίζεσθαι κοινῇ γνώμῃ ἕνα ἐκ τῆς συνοδίας αὐτῶν τὸν ἄξιον ἀναφανέντα καὶ τοῦτον ἀποκαθιστᾶν ἡγούμενον, μηδενὸς τὸ παράπαν ἔξωθεν ἐπιχειροῦντος κατεπεμβαίνειν ὅπως ποτὲ τῆς μονῆς ταύτης, ἐνοχλεῖν τε καὶ ἐπηρεάζειν ὁτῳδήτινι τρόπῳ τοὺς ἐν αὐτῇ συνασκουμένους πατέρας καὶ δόσιν ἀπαιτεῖν παρ᾽ αὐτῶν πολλὴν ἢ ὀλίγην, οὔτε τῶν ἀφιερωμάτων καὶ πραγμάτων καὶ προσόδων αὐτῆς τελείως ἅπτεσθαι, ἀλλὰ διαμένειν ἀκαταπάτητον καὶ ἀσύλωτον καὶ παντελῶς ἀσύδοτον ὡς βασιλικήν, πατριαρχικήν τε καὶ σταυροπηγιακὴν ἄνωθεν ὑπάρχουσαν, καθὼς λεπτομερῶς διέξεισι τὰ περὶ αὐτῆς ὑπομνήματα, οἱ δ᾽ ἐν αὐτῇ συνασκούμενοι καὶ διάγοντες πατέρες ὀφείλουσι πολιτεύεσθαι εὐτάκτως, σωφρόνως τε καὶ κοσμίως φροντίζοντες καὶ ἐπιμελούμενοι τῶν προσηκόντων τῷ μοναδικῷ αὐτῶν βίῳ θεαρέστων καὶ ἐπαινετῶν πράξεων καὶ προσπαθοῦντες τῇ καλλιεργείᾳ, αὐξήσει τε καὶ συστάσει τῆς ἱερᾶς μονῆς ταύτης, μόνῳ τῷ ἰδίῳ αὐτῶν καθηγουμένῳ κατὰ τὴν ἀποστολικὴν ἐντολὴν σεμνοπρεπῶς ὑποτασσόμενοι καὶ ὑπ᾽ οὐδενὸς ἄλλου τὸ παράπαν ἐπηρεαζόμενοι κατὰ τὰ προεκδοθέντα τῷ μοναστηρίῳ αὐτῶν τούτῳ βασιλικά τε χρυσόβουλλα καὶ πατριαρχικὰ τῆς σταυροπηγιακῆς ἐλευθερίας γράμματα, ἔχειν ὀφείλοντα τὸ κῦρος καὶ τὴν ἰσχὺν καὶ διαμένοντα βέβαια καὶ μόνιμα, ἀδιάσειστά τε καὶ ἀπαρεγχείρητα εἰς αἰῶνα τὸν ἅπαντα. ὃς δ᾽ ἂν ὀψέ ποτε βουληθείη διασεῖσαι τὴν σταυροπηγιακὴν ἀξίαν καὶ ἐλευθερίαν τῆς ἱερᾶς καὶ βασιλικῆς μονῆς ταύτης, ἀνατρέψαι τε τὰς ἀποφάσεις τῶν παλαιγενῶν αὐτῆς γραμμάτων καὶ εἰς δουλείαν αὐτὴν βιάσασθαι ἢ τοῖς ἐν αὐτῇ μονάζουσι διενοχλῆσαι ἢ καθαρπάσαι τι τῶν ἀφιερωμένων αὐτῇ καὶ τοῖς μετοχίοις αὐτῆς ἢ ζητῆσαι πολὺ ἢ ὀλίγον νοσφίσασθαι καὶ ζημίαν ἡντινοῦν αὐτοῖς ἐμποιῆσαι, ὁ τοιοῦτος τοῦ μὲν ἱεροῦ καταλόγου ὢν ἀργὸς εἴη

πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως, καταφρονῶν δὲ τῆς ἀργίας ὑπάρχῃ καὶ ἀφωρισμένος ἀπὸ θεοῦ, ὡς τῇ παντελεῖ καθαιρέσει ὑπόδικος, τοῦ λαϊκοῦ δὲ ἢ μοναδικοῦ τάγματος ὢν ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ τοῦ Θεολόγου. ἐν ἔτει ͵αψκβʹ, μηνὶ ἰουνίῳ, ἰνδικτιῶνος ιεʹ. †

† Ἱερεμίας, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Ὁ Ἡρακλείας καὶ Ῥαιδεστοῦ Καλλίνικος. †
† Ὁ Νικαίας Γεράσιμος. †
† Ὁ Δράμας Κύριλλος. †
† Ὁ Βάρνης Καλλίνικος. †
† Ὁ Φιλιππουπόλεως Θεόκλητος. †
† Ὁ Σωζοπόλεως Ἰωάσαφ. †
† Ὁ Κυζίκου Αὐξέντιος. †
† Ὁ Χαλκηδόνος Παρθένιος. †
† Ὁ Ἰκονίου Σίλβεστρος. †
† Ὁ Δέρκων Νικόδημος. †
† Ὁ Προικονήσου Θεόκλητος. †
† Ὁ Νικομηδείας Παΐσιος. †
† Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος. †
† Ὁ Ναυπάκτου καὶ Ἄρτης Νεόφυτος. †
† Ὁ Γάνου καὶ Χώρας Γρηγόριος. †
† Ὁ Καρπάθου Νεόφυτος. †
† Ὁ Λιτίτζης Μεθόδιος. †

*Archet. membr. cum bulla plumbea. Flor. II. nro 66.*

## CXLVI. [7234—1726], mense iunio, ind. IV.

*Patriarcha Paisius II. confirmat libertatem metochii S. Antonii in insula Coo.*

† Παΐσιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. †

† Θεοφιλέστατε ἀρχιεπίσκοπε Κῶ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργέ, καὶ ἐντιμότατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τῆς ἐπαρχίας καὶ νήσου ταύτης, χάρις εἴη ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ. ἀνηνέχθη καὶ ἐδηλοποιήθη ἡμῖν παρὰ τῶν ὁσιωτάτων πατέρων τοῦ ἐν τῇ νήσῳ